UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Archiæ. 499.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

## Κυρίλλῳ. υϟζ.

Ὃν τρόπον δύο σύνδεσμος τοίχων γωνιαῖός τις εὑρίσκεται λίθος, πρὸς ἀδιαίρετον ἕνωσιν, ἑκατέρους συνδέων. οὕτω τοὺς δύο τῆς οἰκουμένης λαοὺς ἡ τοῦ δεσπότου ἡμῶν ἔνσαρκος οἰκονομία συνάψασα, καὶ εἰς ἓν σῶμα, καὶ ἓν πνεῦμα συναρμολογήσασα, εἰς κεφαλὴν γωνίας ἐγένετο, ἀσάλευτον τὴν ἕνωσιν τῇ ἑαυτῆς μεσιτείᾳ φυλάξασα.

## *Cyrillo.* 497.

Quemadmodum angularis quidam lapis duorum parietum vinculum eſſe inuenitur, ad arctiſſimam ac firmiſſimam cōiunctionem eos inter ſe deuinciēs: eodem modo Domini noſtri incarnatio duobus orbis populis inter ſe copulatis, atque in vnum corpus atque vnum ſpiritum compactis, in caput anguli effecta eſt, firmam ac minimè nutantem coniunctionem interpoſitu ſuo cuſtodiens.

## Θέωνι. υϟη.

Τὴν Ἐλισσαίου εὐτέλειαν ζήλου, ὑπερῴῳ καὶ λύχνῳ ἀρκούμενος· ἅπερ τὴν ὑψηλὴν καὶ πεφωτισμένην τοῦ ἀνδρὸς ᾐνίσσετο πρᾶξιν, ἀλλὰ μὴ μεγάλαις οἰκοδομαῖς ὡς Φαραὼ προστηκόμενος καὶ προστήκων αὐταῖς τοὺς μονάζοντας, τὴν ἀληθῆ ἐργασίαν κατάλυε.

## *Theoni.* 498.

Eliſæi tenuitatem ac frugalitatem imitare, nihil vltra cœnaculum ac lucernam requirens (quæ quidem ſublimem ac ſplēdidam viri illius actionem deſignabant:) ac non contrà magnis ſubſtructionibus addictus, ipſiſque etiam Monachos addicens & conficiens, veram operationem euerte.

## Ἀρχίᾳ. υϟθ.

Εἰ τὴν ὑπόσχεσιν ἐπλήρωσε τὴν οἰκείαν ὁ κύριος, οὐ μετὰ πολλὰς ἡμέρας τῆς ἑαυτοῦ ἀναλήψεως, τὴν ἐξ ὕψους δύναμιν περιζώσας τοὺς θιασώτας, καὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἐκ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, ματαία ἡ τοῦ σατανᾶ Μοντανοῦ κακόνοια, πρὸς τοσαύτην ἀλήθειαν ἀβλεπτήσαντος, καὶ μεῖζόν τι τῆς τελειώσεως ταύτης τοῖς πεισθεῖσιν αὐτῷ προσγενήσεσθαι μυθοποιήσαντος.

## *Archiæ.* 499.

Si pollicitationem ſuam præſtitit Dominus, non poſt multos ab aſcēſu ſuo dies *Luc. 24.* ex alto virtute indutis Diſcipulis, ac lex Spiritus vitæ in Chriſto Ieſu à peccati & mortis lege nos in libertatem aſſeruit, vanus Satanæ Montani error eſt, qui ad tantam veritatem caligauit, maiúſque aliquid hac perfectione ijs, qui ſibi fidem adhibuiſſent, acceſſurum eſſe fabulatus eſt.

## Τῷ αὐτῷ. φ.

Τὸ θεῖον καὶ προσκυνούμενον πνεῦμα δεκάτῃ τῆς ἀναλήψεως, πεντηκοστῇ δὲ τῆς ἀναστάσεως ἡμέρᾳ ἐπὶ τοὺς ἱεροὺς μαθητὰς κατεφοίτησεν, ὡς ὁ κύριος ἐπηγγείλατο, οὐ μετὰ πολλὰς ἡμέρας τοῦτο ποιήσειν τῷ καιρῷ τῆς εἰς οὐρανοὺς ἀνόδου ὑποσχόμενος. καὶ Λουκᾶς ἔγραψε πληρωθὲν ὁ θεσπέσιος, ὅπερ πολλοῖς ὕστερον χρόνοις, ὁ δυσσεβὴς μὴ γεγενῆσθαι Μοντανὸς διεψεύσατο, καὶ

## *Eidem.* 500.

Diuinus atque adorandus Spiritus decimo ab Aſcēſione, ac quinquageſimo à Reſurrectione die ad ſacroſanctos Diſcipulos deſcendit, quemadmodum Dominus promiſerat, eum, eo tempore quo in cælū *Act. 2.* aſcendebat, non multis pòſt diebus id ſe factum recepit, atque hoc expletum *Act. 1.* fuiſſe diuinus vir Lucas ſcripſit, quod longo pòſt temporis curriculo factum eſſe impius Montanus falſò aſſeruit. In quo &